# T4 Πολύφημος  als docx

Apollodor 7.01 ff. unverändert



1 [7.01] ὁ δὲ Ὀδυσσεύς, ὡς μὲν ἔνιοι λέγουσιν, ἐπλανᾶτο κατὰ Λιβύην,
ὡς δὲ ἔνιοι κατὰ Σικελίαν, ὡς δὲ ἄλλοι κατὰ τὸν Ὠκεανὸν
ἢ κατὰ τὸ Τυρρηνικὸν πέλαγος.

2 [7.02] ἀναχθεὶς δὲ ἀπὸ Ἰλίου προσίσχει πόλει Κικόνων Ἰσμάρῳ
καὶ ταύτην αἱρεῖ πολεμῶν καὶ λαφυραγωγεῖ,
μόνου φεισάμενος Μάρωνος, ὃς ἦν ἱερεὺς Ἀπόλλωνος.

3 αἰσθόμενοι δὲ οἱ τὴν ἤπειρον οἰκοῦντες
Κίκονες σὺν ὅπλοις ἐπ᾽ αὐτὸν παραγίνονται·
ἀφ᾽ ἑκάστης δὲ νεὼς ἓξ ἀποβαλὼν ἄνδρας ἀναχθεὶς ἔφευγε.




4 [7.03] καὶ καταντᾷ εἰς τὴν Λωτοφάγων χώραν
καὶ πέμπει τινὰς μαθησομένους τοὺς κατοικοῦντας·

5 οἱ δὲ γευσάμενοι τοῦ λωτοῦ κατέμειναν·
ἐφύετο γὰρ ἐν τῇ χώρᾳ καρπὸς ἡδὺς λεγόμενος λωτός,
ὃς τῷ γευσαμένῳ πάντων ἐποίει λήθην.

6 Ὀδυσσεὺς δὲ αἰσθόμενος, τοὺς λοιποὺς κατασχών,
τοὺς γευσαμένους μετὰ βίας ἐπὶ τὰς ναῦς ἄγει,
καὶ προσπλεύσας τῇ Κυκλώπων γῇ προσπελάζει.

7 [7.04] καταλιπὼν δὲ τὰς λοιπὰς ναῦς ἐν τῇ πλησίον νήσῳ,
μίαν ἔχων τῇ Κυκλώπων γῇ προσπελάζει,
μετὰ δώδεκα ἑταίρων ἀποβὰς τῆς νεώς.




VLYSSE aborde la demeure de Polipheme, & met pied à terre auec quelques-vns de ses compagnons, pour tascher d'apprendre quels sentimens auoient des Dieux les habitans de cette Isle, & quel traittement ils souloient faire à leurs hostes; Bel exemple aux Nauigateurs bien aduisez, *De ne se croire iamais en seureté dans vn pays estranger, si l'humeur brutale de ceux qui l'habitent en a banny la Religion, & l'Hospitalité.*

8 ἔστι δὲ τῆς θαλάσσης πλησίον ἄντρον,
εἰς ὃ ἔρχεται ἔχων ἀσκὸν οἴνου τὸν ὑπὸ Μάρωνος αὐτῷ δοθέντα.

9 ἦν δὲ Πολυφήμου τὸ ἄντρον, ὃς ἦν Ποσειδῶνος καὶ Θοώσης νύμφης,
ἀνὴρ ὑπερμεγέθης ἄγριος ἀνδροφάγος,
ἔχων ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου.

10 [7.05] ἀνακαύσαντες δὲ πῦρ καὶ τῶν ἐρίφων θύσαντες εὐωχοῦντο.



11 ἐλθὼν δὲ ὁ Κύκλωψ καὶ εἰσελάσας τὰ ποίμνια
τῇ μὲν θύρᾳ προσέθηκε πέτρον ὑπερμεγέθη
καὶ θεασάμενος αὐτοὺς ἐνίους κατήσθιεν.

12 [7.06] Ὀδυσσεὺς δὲ αὐτῷ δίδωσιν ἐκ τοῦ Μάρωνος οἴνου πιεῖν·
ὁ δὲ πιὼν πάλιν ᾔτησε, καὶ πιὼν τὸ δεύτερον ἐπηρώτα τὸ ὄνομα.

13 τοῦ δὲ εἰπόντος ὅτι Οὖτις καλεῖται, Οὖτιν ἠπείλει ὕστερον ἀναλῶσαι,
τοὺς δὲ ἄλλους ἔμπροσθεν,
καὶ τοῦτο αὐτῷ ξένιον ἀποδώσειν ὑπέσχετο.

14 κατασχεθεὶς δὲ ὑπὸ μέθης ἐκοιμήθη.